ΜΕΡΟΣ ΤΡΙΤΟΝ.

ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

ΣΕΛΙΔ. 1, στ. 9, Αὐτὸ γοῦν.] ΗΔ, ΑΤ, Αὐτὸ οὖν.

ΣΕΛΙΔ. 2, στ. 2, Ἔςι δ' οὖν.] ΗΔ, ΑΤ, Ἔςι δὴ οὖν. ΔΓ, Ἔςι δὲ οὖν.—Στ. 11, Γενέσθαι δέ.] Ἐκ ΔΓ προσείληφα τὸν σύνδεσμον. —Στ. 13, Φασι.] Ἄμεινον ὁ Ἰταλὸς μεταφραςὴς, Φησι.—Στ. 16, Καὶ Μίλητον.] Διαγραπτέος ἴσως ὁ σύνδεσμος.—Στ. 20, Φασιν.] Ἰσ.γρ. κἀνταῦθα, Φησιν.—Στ. 23, Κυδρῆλος.] Ἰσ.γρ. Κοδρύλος, ἢ Κοδρῖλος, παρὰ τὸν Κόδρον, καθάπερ Μυρσῖλος ἐκαλεῖτο ὁ Κανδαύλης (Ἡροδότ. ά, 7) ἀπὸ τοῦ πατρὸς Μύρσου.

ΣΕΛΙΔ. 3, στ. 14, Μνῆσαι.] Γράφε, Μνήσαι, καθὰ φέρουσιν αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις.—Στ. 20, Λεπρῆς.] Ἐκ τοῦ ἐμοῦ ἀντιγράφου μόνου (ἐπιθέτως), ΑΤ, Λέπρης. Ἔςι δ' ὁ Λεπρὸς συνώνυμον τοῦ Τραχὺς, παρ' ὃ καὶ ἡ Λέπρα (οὐσιαςικῶς) τὸ περὶ τὸ σῶμα πάθος (τὸ καλούμενον ἄλλως Ἐλεφαντίασις), διὰ τὴν τραχύτητα καὶ σκληρίαν τοῦ δέρματος, καὶ Λεπρὸς (ἐπιθέτως πάλιν), ὁ τὸ πάθος ἔχων.—Ἀκτῆς.] Ἴσ.γρ. Ἄκρης.—Στ. 21, Λεπρή.] Καὶ τοῦτο ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου, ΑΤ, Λέπρη.—Ἀκτή.] Ἴσ.γρ. Ἄκρη.—Πρηών.] Ἐκ ΔΓ, ΑΤ, Πρίων. Ἔςι δ' ὁ Πρηὼν ἐξοχὴ ὄρους, καθὰ καὶ Ὀρφεὺς (Ἀργοναυτ. 466) Ὀλύμπου πρηῶνας εἴρηκε, τοὺς αὐτοὺς ὄντας τοῖς παρ' Ὁμήρῳ (Ἰλιάδ. μ', 282) Πρώοσι·

Ὑψηλῶν ὀρέων κορυφὰς καὶ πρώονας ἄκρους.

—Στ. 23, Πρηῶνος.] Ἐκ ΔΓ, ΑΤ, Πρίωνος.—Στ. 24, Ἡ περὶ τόν.] ΗΔ (συνᾴδουσα τῇ ἐν τοῖς ἑξῆς, σελ. 13, γραφῇ), ΑΤ, Η ὑπὲρ τόν.—Στ. 28, Λεπρῆς.] Ἐκ ΔΓ, ΑΤ, Λέπρης.

ΣΕΛΙΔ. 4, στ. 5, Ἐπανιόντες.] ΗΔ, ΑΤ, Ἐπιόντες.—Στ. 11, Ἐζόμεθ'.] Ὥσαντ', εἴκασα γραπτέον εἶναι ἐν ταῖς Γαλλικαῖς σημειώσεσιν, οὐ πάνυ τι ἀποδεχόμενος τὴν διόρθωσιν, ἀλλὰ τὸ μὴ συνᾷδον τοῖς περὶ Σμυρναίων ἄλλως ἱςορημένοις παραμυθούμενος· οἱ γὰρ Αἰολεῖς ἦσαν ὕβριος ἡγεμόνες, ἀπωσάμενοι τοὺς Σμυρναίους καὶ εἰς Κολοφῶνα φυγεῖν ἀναγκάσαντες.—Στ. 12, Ἀςύεντος.] ΔΓ, Ἀςήεντος. Γραπτέον εἶναι, Ἀλήεντος, εἴκασεν ὁ Γερμανὸς ἐκδότης,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΥΤΗΜΟΝ ΕΠΙΣΤΗΜΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΝΕΤΣΙΟΣ
Ε.Υ.Δ.ης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁρμώμενος ἐκ τοῦ Παυσανίου (ζ', 5, καὶ ή, 28).—Στ. 13, Εἴλομεν.] Ἐξ ΕΔ (ἴδ. τὰς Γαλλ. σημειώσ.), ΑΤ, Εἴδομεν.—Στ. 15, Ἐφ' ὥνπερ καὶ πρώτων.] ΗΔ, ΑΤ, Ἀφ' ὧνπερ καὶ πρῶτον.—Στ. 18, Τὸ Μιλησίων.] ΗΔ (συνᾴδουσα τῇ ἀνωτέρω, σελ. 2, γραφῇ), ΑΤ, Τὸ Μιλήσιον.

ΣΕΛΙΔ. 5, στ. 11, Μέγιστον δὲ τὸ πλῆθος τῶν ἀποικιῶν.] Πλειόνων ἢ ὀγδοήκοντα πόλεων γενέτειραν (Super octoginta urbium genetrix) ὀνομάζει Πλίνιος (V, 29) τὴν Μίλητον (Ἴδ. τὰς Γαλλ. σημ.). Καὶ τοῦτο μὲν μεγίστης εὐδαιμονίας ὑπῆρχε σημεῖον, ἧς ἀπήλαυον ἑλληνικῶς εὐνομούμενοι οἱ Μιλήσιοι· ἔπειτα δὲ, οἷα πάσχειν εἰκὸς τοὺς μὴ τοῖς καθεστῶσιν ἐμμένοντας, καὶ παροιμίας ἀφορμὴν παρέσχον τοῖς σκώπτειν βουλομένοις, τῆς,

Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

—Στ. 23, Ἄρτεμις, ἀπὸ τοῦ ἀρτεμέας ποιεῖν.] Ὅθεν Οὐλία καὶ αὐτὴ, κατὰ τὸν Μακρόβιον (*Saturnal. I*, 17), ἐπωνομάσθη, ὥσπερ καὶ ὁ ἀδελφὸς αὐτῆς, Οὔλιος.

ΣΕΛΙΔ. 6, στ. 4, Ἑκαταῖος... συντάξας· καθ' ἡμᾶς.] Ἴσως κεκολόβωται ὑπὸ τῶν ἀντιγραφέων τὸ χωρίον, γεγραμμένον πάλαι, Ἑκαταῖος... συντάξας, καὶ Κάδμος καθ' ἡμᾶς. Θαυμαστὸν γάρ, πῶς παρέλιπεν ἐνθάδε Στράβων τὸν Κάδμον, τὸν πρῶτον πεζῷ λόγῳ γράψαντα, καίπερ ἀλλαχοῦ (Μέρ. Α, σελ. 22) μνημονεύσας αὐτοῦ τε ἅμα καὶ τοῦ Ἑκαταίου. Λέγει δὲ καὶ ὁ Πλίνιος (V, 29) περὶ τῆς Μιλήτου, Nec fraudanda cive Cadmo, qui primus prosam orationem condere instituit.

ΣΕΛΙΔ. 7, στ. 13, Χαρώνειον.] ΗΔ (συνᾴδουσα τῇ ἀνωτέρω Μέρ. Β, σελ. 433, γραφῇ), ΑΤ, Χαρώνιον.

ΣΕΛΙΔ. 8, στ. 26, Ὁ Σεβαστὸς Καῖσαρ.] Παράβαλε ταῦτα τοῖς ἀνωτέρω (Μέρ. Β, σελ. 459) εἰρημένοις.

ΣΕΛΙΔ. 9, στ. 5, Μελάμφυλος.] Γράφε κἀνθάδε, Μελάμφυλλος, διὰ τὰ σημειωθέντα ἀνωτέρω (σελ. 214).—Στ. 16, Περὶ μὲν οἴνους.] Ἰσ.γρ. Περὶ μὲν οὖν οἴνους.—Στ. 20, Τοῦτο δὲ καὶ τῶν.] Ἐκ ΔΓ, ΑΤ, Τοῦτο δὲ καὶ τὸ τῶν.

ΣΕΛΙΔ. 10, στ. 4, Καταστρέψοι.] Ἐκ ΔΓ, ΑΤ, Καταστρέψει.

ΣΕΛΙΔ. 11, στ. 12, Ἰκαρία.] Ἣν ἀνωτέρω (σελ. 5) Ἴκαρον ὠνόμασε. Ἔστι δὲ, καθάπερ ἔφην (σελ. 232), ἡ νῦν βαρβάρως λεγομένη Νικαρία.—Στ. 22, Δράκανον.] Τὸ Δράκανον, καὶ τὸ ἐν τοῖς ἑξῆς (σελ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΜΕΤΣΙΟΣ
Ε.Υ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

(σελ. 39), Δρέκανον, διαλέκτῳ μόνῃ διαφέρουσι τοῦ Δρέπανον.

ΣΕΛΙΔ. 12, στ. 11, Πυγαλγέας.] Ἐξ ΕΔ (ἴδ. Σνεῖδέρ. Λεξικ. Ἑλληνογερμανικ. λέξ. Πυγαλίαι), ΑΤ, Πυγαλίας.—Στ. 23, Τῶν ὅπλων ἐκπλῆξαι τὴν Ἥραν.] Ἐκ ΔΓ, ΑΤ, Τὴν Ἥραν τῶν ὅπλων ἐκπλῆξαι.—Στ. 27, Σκόπα ἔργα.] Ἐξ ΕΔ, ΑΤ, Σκολιὰ ἔργα.

ΣΕΛΙΔ. 13, στ. 3, Τό τε τῶν.] ΗΔ, ΑΤ, Τότε δὲ καὶ τῶν. ΔΓ, Τότε τῶν.—Στ. 12, Ῥινούχους.] Γαλλιςὶ *égoûts*. Ἴδ. τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφράσ.—Στ. 15, Γερουσία, καταγραφομένη.] Κατὰ τοὺς παρὰ Ῥωμαίοις Patres conscriptos.—Στ. 21, Μαρτύριά ἐςι.] Ἐκ τοῦ ἐμοῦ μόνου ἀντιγράφου (οὐδετέρ. καὶ πληθ.), ΑΤ, Μαρτυρία ἐςί.

ΣΕΛΙΔ. 14, στ. 4, Ἐφ' ᾧ τήν.] Ἐκ ΔΓ, ΑΤ, Ἐφ' ᾧ τε τήν.—Στ. 7, Πρέποι.] Ἐκ ΔΓ, ΑΤ, Πρέπει.—Στ. 9, Δεινοκράτους.] Ἐκ ΔΓ, ΑΤ, Χειροκράτους.—Στ. 10-14, Τοῦ δ' αὐτοῦ... ποταμόν.] Ἔπιθι τὰ διὰ μακρῶν σημειωθέντα μοι ἐν τῇ Γαλλ. μεταφρ. περὶ τοῦ μὴ ἀποχρώντως σαφηνισθέντος τούτου χωρίου τοῖς πρὸ ἡμῶν.—Στ. 13, Ποιήσειν τε.] ΗΔ (συνᾴδουσα τῇ ἀρχαίᾳ μεταφράσει facturumque), ΑΤ, Ποιήσαντα.—Στ. 19, Κρήνη, Πηνελόπειά τε κ. τ. λ.] Ἔπιθι καὶ περὶ τούτου τὰς Γαλλ. σημειώσ.—Στ. 20, Μεγαλοβύζους, ἄλλους ἀλλαχόθεν.] ΗΔ, ΑΤ, Μεγαλοβύζους, καὶ ἀλλαχόθεν. Τὸ δὲ Μεγαλοβύζους τρεπτέον ἴσως εἰς τὸ Μεγαβύζους, καθάπερ ἔφην ἐν ταῖς Γαλλ. σημειώσ.—Στ. 24, Καὶ νῦν, ᾗ καὶ πρότερον.] ΗΔ, ΑΤ, Καὶ νῦν καὶ πρότερον. Ἔςι δὲ καὶ πιθανωτέρως διορθοῦν, Καὶ νῦν, καθὰ πρότερον.

ΣΕΛΙΔ. 15, στ. 15, Ἐμπορεῖον.] Ἐκ ΔΓ, ΑΤ, Ἐμπόριον. Παράβαλε τὰ περὶ τῆς Ἐφέσου οἷς ἐν τοῖς πρόσθεν (Μέρ. Β, σελ. 375) εἴρηκεν.—Στ. 20, Ὀνήϊςον.] Ὑπερθετικὸν τοῦ Ὄνειος ἢ Ὀνείων, τουτέςιν ὠφέλιμος, χρήσιμος, καὶ ἑπομένως τίμιος· ὅθεν εἰκὸς παρῆχθαι καὶ τὸ τῶν Ῥωμαίων Honestus. Ἴδ. τὰς Γαλλ. σημειώσ.—Στ. 24, Ἀλέξανδρος.] Ἐξερρύηκέναι τι τοῦ χωρίου ὑπενόησα (ἐν ταῖς Γαλλ. σημειώσ.), γεγραμμένου ἴσως πάλαι, Ἀρτεμίδωρος καὶ Ἀλέξανδρος.

ΣΕΛΙΔ. 16, στ. 2, Λίμνη... Σελινουσία.] Ἴσως λίμνην ἐνθάδε ὀνομάζει, ὃν ἀλλαχοῦ (Μέρ. Β, σελ. 144) ποταμὸν Σελινοῦντα (ῥέοντα παρὰ τὸ ἐν Ἐφέσῳ Ἀρτεμίσιον) εἴρηκε.—Στ. 7, Τάς τε λίμνας ἀπέλαβε... ἐξενίκησε.] Γραπτέον ἴσως καὶ ςικτέον, Τάς τε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΡΕΤΣΙΟΣ
Ε.Υ.Δ της.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λίμνας ἀπολαβεῖν τῇ θεῷ καὶ τὴν Ἡρακλεῶτιν, ἀφισταμένην, ἐξενίκησε.

ΣΕΛΙΔ. 17, στ. 5, Λύπης, κατά τι.] ΗΔ, ΑΤ, Λύπης καὶ κατά τι.—Στ. 17, Ξενοφάνης... ὁ τοὺς σίλλους ποιήσας.] Ἠπάτησε καὶ ἑτέρους ὁ Στράβων, ἠπατημένος πρῶτος αὐτὸς περὶ τῶν Ξενοφάνους σίλλων· οὐ γὰρ Ξενοφάνης, ἀλλὰ Τίμων ὁ Φλιάσιος ἐστὶν ὁ τοὺς σίλλους πεποιηκώς· τῆς δ' ἀπάτης αἴτιον, ὅτι Ξενοφάνει τοὺς Σίλλους ἀνέθηκεν ὁ Τίμων, ὥς φησι Σέξτος ὁ Ἐμπειρικὸς (Πυῤῥων. Ὑποτυπώσ. ά, 33, σελ. 58, μετὰ τῆς τοῦ Φαβρικ. σημειώσ.)· ἐν οἷς Σίλλοις καὶ ἀνακρίνει τὸν Ξενοφάνην ἐν διαλόγου σχήματι, καθά φησι Διογένης ὁ Λαέρτιος (θ', 111). Ἦσαν δ' οἱ Σίλλοι σατυρικὸν ποίημα, ἐν ᾧ διέσυρε Τίμων τοὺς φιλοσόφους. «Σίλλος... μῶμος, κακολογία » καὶ χλευασμὸς » φησὶν Ἡσύχιος· καὶ ῥῆμα δὲ, «Σιλλοῖ, μωκᾶται, » ψέγει, κακολογεῖ ».—Στ. 20, Φθέγμα.] Ἐκ μὴ σωζομένου ποιήματος τοῦ Πινδάρου. Τοῦ δὲ Πολυμνήστου, μνημονεύει καὶ Πλούταρχος ἐν τῷ Περὶ μουσικῆς.—Στ. 24, Ὄρος Κοράκιον.] Κόρακας νῦν καλούμενον, κατὰ τὸν Μελέτιον.—Στ. 26, Λέβεδος.] Σώζει τοὔνομα, μικρὸν τουρκίζον, Λεβεδιτζισάρ, ὅ ἐστι Λεβέδου τεῖχος, ἢ φρούριον.

ΣΕΛΙΔ. 18, στ. 14, Ἐνθένδ'.] ΗΔ, ΑΤ, Ἔνθεν δ'.—Στ. 26, Καθό.] Γράφε, Καθ' ὅ.

ΣΕΛΙΔ. 19, στ. 1, Ἀπόκρημνος τόπος.] ΗΔ, ΑΤ, Ὑπόκρημνος ὁ τόπος. Ἔστι γὰρ κύριον ἐνταῦθα ὄνομα ὁ Ἀπόκρημνος, ᾗ δῆλον ἐκ τῶν ἑξῆς (σελ. 21) ῥηθησομένων τῷ Στράβωνι, καίπερ ἀπὸ τῆς φύσεως, τουτέστιν ἀπὸ τοῦ τραχὺς εἶναι καὶ κρημνώδης οὕτω προσαγορευθείς. Καὶ οἱ Τοῦρκοι δὲ νῦν Σαρπὰν κυρίως καλοῦσι τὸν τόπον (Chandler, *Voyag. dans l'As. min. et en Grèce, tom. I, pag.* 419, *not.* 49), παρὰ τὸ Σάρπ, τὸ σημαῖνον τὸ τραχύ.—Στ. 4, Ὑπὸ τοῦ.] ΗΔ, ΑΤ, Ἀπὸ τοῦ.—Στ. 7, Ἀποκρήμνου.] ΗΔ, ΑΤ, Ὑποκρήμνου.—Στ. 11, Μὲν Ἔραι.] Ἐκ ΔΓ, ΑΤ, Μέν γ' Ἔραι. Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις, Μὲν Γέραι.—Στ. 13, Κασύστης, καὶ ἌΛΛΟΣ Ἐρυθρᾶς λιμὴν καλούμενος.] Ἰσ. γρ. ἌΛΛΩΣ, ἵν' ᾖ ὁ αὐτὸς λιμὴν διττῷ ὀνόματι καλούμενος· ἔστι δ' ὁ Κασύστης, ὃν Κυσσοῦντα (Cyssus) ὀνομάζει ὁ Τίτος Λιούϊος, ὁ νῦν, Τσεσμὲς λεγόμενος. Καὶ σημαίνει μὲν πηγὴν ὁ Τσεσμὲς τοῖς Τούρκοις· ἐνδέχεται μέντοι καὶ παρεφθάρθαι τοὔνομα ἀπὸ τοῦ Κασύστου, ἢ Κυσσοῦντος.—Στ. 23, Τοῦ δ' ἄρα ὁ.] ΗΔ (συνᾴδουσα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΙΝΩΝ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῷ Εὐςαθίῳ, ἐν τοῖς εἰς Διονύσ. τὸν Περιηγητ. 855), ΑΤ, Τοῦ δ' ἄρ' ὁ.

ΣΕΛΙΔ. 20, στ. 1, Ἄργεννον.] Ἡ νῦν Λευκὴ ἄκρα (καὶ ἰδιωτικῶς Κάβος ἄσπρος Cap Blanc), καθὰ δηλοῖ καὶ τοὔνομα Ἀργεννον.—Στ. 5, Ἄκρα Μέλαινα.] Καράμπουρνα ἰδιωτικῶς, ἐκ τῆς Τούρκων φωνῆς, ὃ ταὐτὸ σημαίνει καὶ τὸ Ἑλληνικὸν ὄνομα.—Στ. 10, Ἡροφίλειος.] ΗΔ, ΑΤ, Ἡρόφιλος. Αἱ πρὸ τοῦ Γερμανοῦ ἐκδόσεις, Ἡροφίλιος.—Στ. 15, Τὸ Ποσείδιον, εἶτα Φάναι.] Τὸ μὲν Ποσείδιον (οὕτω κληθὲν ἀπὸ τοῦ ἐπ' αὐτῷ ναῷ τοῦ Ποσειδῶνος) νῦν Ἄκρα τῆς ἁγίας Ἑλένης καλεῖται. Αἱ δὲ Φάναι εἰσὶν ἡ νῦν Φάνα, ἢ κατὰ τὸν Μελέτιον, Κάβο μαςίχι.—Στ. 16, Νότιον.] Πλησίον κεῖσθαι τῶν Φανῶν τὸ Νότιον, ἐςὶν εἰκάσαι ἐκ τοῦ ὀνόματος· διὸ καὶ τὴν περὶ τὰς Φάνας χώραν ἅπασαν Κάτω μερίαν νῦν ὀνομάζουσι διὰ τὸ πρὸς νότον ὑπάρχειν.—Στ. 17, Ἐλαιοῦς.] Οὕτως ἐτόλμησα γράψαι ΑΤ, Λαΐους. ΔΓ (ἐκ μόνου τοῦ ἐμοῦ ἀντιγράφου, Λαιούς. Ἐν τῇ ἀρχαίᾳ Λατινικῇ μεταφράσει, Leus, τουτέςι Λεούς. Ἔςι δὲ νῦν ὁ καλούμενος Λιμὴν Μέςος (Port de Mesta), ὁ σὺν τῷ λιμένι τῆς πόλεως Χίου ἀποτελῶν τὸν ἑξηκονταςάδιον ἰσθμόν. Εἰ δὲ τὸ Λαΐους κατὰ χώραν ἐᾷν βούλοιο, σκόπει μὴ ὁ νῦν Λιθὶ λιμένας ἐςὶ (παρὰ τὸ Λάας δηλονότι).—Στ. 19, Μέλαινα ἄκρα.] Ἡ νῦν, Ἅγιος Νικόλαος.—Στ. 20, Ψύρα.] Τὰ νῦν Ψαρά.—Στ. 22, Ἀριουσία χώρα.] Ἥτις ἄρχεται ἀπὸ τῶν περὶ τὴν πάλαι καὶ νῦν Βολισσὸν τόπων, κατὰ τὸν Ἄγγλον Ποκώκκιον.—Στ. 24, Πελιναῖον ὄρος.] Σπαρτοῦντα νῦν καλεῖσθαι φησὶν ὁ Τουρνεφόρτιος.

ΣΕΛΙΔ. 21, στ. 1-4, Ἄνδρες δὲ Χῖοι κ. τ. λ.] Οἷς ὁ Στράβων διηρίθμησεν ἐλλογίμοις Χίοις συγκαταλεκτέον Οἰνοπίδην τὸν ἀςρονόμον, Νέσσον φιλόσοφον, καὶ τὸν τούτου μαθητὴν Μητρόδωρον (οὗ φασὶ διακοῦσαι τὸν μέγαν Ἱπποκράτην), Ἀρίςωνα καὶ Θεόδωρον τοὺς Στωϊκοὺς, καὶ Σκύμνον, γεωγράφον. Καὶ οὗτοι μέν εἰσιν οἱ περὶ λόγους σπουδάσαντες· τοὺς δ' ἐπὶ τέχναις εὐδοκιμήσαντας, οἷον μουσικοὺς, ἀγαλματοποιοὺς καὶ τοὺς τοιούτους, οὔ μοι καιρὸς ἀριθμεῖν.—Στ. 5, Καλουμένους ἀπὸ τοῦ.] Ἐκ ΔΓ, ΑΤ, Καλουμένους, ἀπὸ δὲ τοῦ.—Στ. 7, Ὅθεν περ καὶ Ὁμηρίδαι.] Ἐκ τῶν Πινδάρου Νεμ. β', 1.—Στ. 9, Καὶ ναυτικόν.] Ὅπερ εἰκὸς ἀξιολογώτατον γεγονέναι, ὥς ἐςι συλλογίσασθαι ἐξ ὧν ἱςόρηκεν Ἡρόδοτος (ς', 8)· ἐν γὰρ τῷ πρὸς τοὺς βαρβάρους πολέμῳ τῶν Ἰώνων, ἐκ τριακοσίων πεντήκοντα καὶ τριῶν τριηρῶν, ἃς ἐννέα πόλεις παρέσχοντο,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΟΕΣΙΑΗΤΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΤΟΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αἱ ἑκατὸν ἦσαν τῶν Χίων.—Στ. 12, Ἀποκρήμνου.] Ἐνθάδε δὲ οὐδεμία διαφωνία ἐν τοῖς ἀντιγράφοις (ἴδ. τὰ σημειωθ. ἀνωτέρ. σελ. 290).—Χύτριον... Κλαζομεναί.] Κλαζομενιὸ, νῦν καλεῖσθαί φησιν ὁ Μελέτιος τὰς Κλαζομενὰς, ὑπὸ δὲ τῶν Τούρκων Κιλισμάν. Ἕτεροι δὲ τὰ καλούμενα Βουρλὰ λέγουσιν εἶναι.—Στ. 20, Περὶ τετρακόσια ἔτη διετέλεσεν οἰκουμένη κωμηδόν.] Διόρθου ἐνθένδε τὴν τοῦ Μελετίου Γεωγραφίαν (σελ. 464), ἐν οἷς λέγει, « Οἱ Σμυρναῖοι εὑρίσκοντο διεσπαρμένοι περὶ τὰς ΚΥ̓ΜΑΣ σχεδὸν » ἔτη 400 » γράφων, ΚΏΜΑΣ.

ΣΕΛΙΔ. 22, στ. 3, Ἀντιποιοῦνται.] Ἀποκατέστησα τὴν ἀρχαίαν γραφὴν, ΑΤ, Μεταποιοῦνται.—Στ. 9, Ἀποσκευῶν.] Ἐξ ΕΔ, ΑΤ, Παρασκευῶν.—Στ. 18, Ἀνιών.] Ἐκ ΔΓ, ΑΤ, Ἰών.—Στ. 20, Θυάτειρα.] Τὸ νῦν Ἀξάρι παρὰ τὸ κατὰ τὴν Τούρκων φωνὴν Ἀκισάρ.—Στ. 21, Ἀπολλωνίδα.] Περὶ ἧς εἴρηκεν ἐν τοῖς πρόσθεν (Μέρ. Β, σελ. 502).—Στ. 25, Στρατιά.] ΗΔ, ΑΤ, Στρατεία.

ΣΕΛΙΔ. 23, στ. 4, Φώκαια.] Αἱ νῦν Παλαιαὶ Φῶκαι.—Στ. 11, Μαγνησία.] Ἡ νῦν Γκιουζελισὰρ (ὃ δύναται Καλλίπολις) τουρκιστὶ καλουμένη, ἑτέρα τῆς ὑπὸ Σιπύλῳ Μαγνησίας, τῆς τηρησάσης τοὔνομα.—Στ. 16, Ἑσπερίταις.] Ἴσ.γρ. Ἑσπερίδαις· οἱ αὐτοὶ γάρ εἰσι τοῖς ἀλλαχοῦ μνημονευθεῖσι τῷ Στράβωνι, περὶ ὧν ἔπιθι τὰ ἀνωτέρω (σελ. 215) σημειωθέντα μοι. Μνημονεύσει δὲ καὶ ἐν τοῖς ἑξῆς (Μέρ. Γ, σελ. 302), ὅπου καὶ Λάθωνα ὀνομάζει τὸν ἐν ἐκείνοις ῥέοντα ποταμὸν, ταὐτὸν ὄντα τῷ ἐνθάδε καλουμένῳ Ληθαίῳ.—Στ. 19, Διὰ στίχου.] Ὀρθῶς ἂν γράφοις, Διὰ στίχων, καθὰ ἡρμήνευσε καὶ ὁ ἀρχαῖος μεταφραστὴς, versibus. Ὀρθώτερον δ', οἶμαι, γράφει ὁ τὰς Χρηστομαθείας (Μέρ. Γ, σελ. 434) συντεταχὼς, Διὰ διστίχου.—Στ. 25, Ἡ οἴη Διδύμους.] Παρέθετο ταῦτα καὶ ἀνωτέρω (Μέρ. Β, σελ. 226).

ΣΕΛΙΔ. 24, στ. 4, Ἱεράσασθαι.] Ἐκ ΔΓ, ΑΤ, Ἱερᾶσθαι.—Στ. 12, Τοῦ ἐν Διδύμοις.] Οὗπερ ἀνωτέρω (σελ. 4) ἐμνημόνευσε.—Τὸ παλαιόν.] Ἐκ ΔΓ, ΑΤ, Καὶ τὸ παλαιόν.—Στ. 26, Σίμων.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Σῖμος, ὅπερ ἔγραψεν ὁ Γερμανὸς ἐκδότης, διὰ τὸ μετ' ὀλίγα (σελ. 25) Σῖμον τὸν αὐτὸν τοῦτον καλεῖσθαι ὑπὸ Στράβωνος, καθάπερ καὶ ὑφ' ἑτέρων. Ἔστιν ὅμως τοῦτο οὐκ ἀντιγραφέων παρόραμα, ἀλλὰ Στράβωνος μᾶλλον ἀμέλεια, ἄλλως τε καὶ τῶν τοιούτων ὀνομάτων διπλοκαταληκτουμένων συνήθως· καὶ ἀνωτέρω γὰρ (Μέρ. Β, σελ. 424) Λύκωνα φέρουσι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΑΤΣΙΟΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὰ ἀντίγραφα ἀντὶ τοῦ παρ' ἅπασι, Λύκον. Οὕτω λέγεται Λάκμων καὶ Λάκμος (ὄρους ὄνομα), καὶ Δρυμὸς καὶ Δρυμῶν, καὶ Διπλάσιος καὶ Διπλασίων, καὶ Ἐπίζημος παρ' Ἱπποκράτει (Ἐπιδημ. ς', τμ. 8), ἀντὶ τοῦ Ἐπιζήμων, καὶ Ἀχυρὸς (παρ' Ἡσυχ.), ἀντὶ τοῦ Ἀχυρών. Λέγει δὲ καὶ ἡ παρ' ἡμῖν συνήθεια πρὸς πολλοῖς ἄλλοις, οἷς ἀλλαχοῦ (Πρόδρ. Ἑλληνικ. βιβλιοθ. σελ. 378) ἐσημειωσάμην, καὶ Μάκον, τὸν Μήκωνα (δωρικ. Μάκωνα).

ΣΕΛΙΔ. 25, στ. 10, Ἱερωμένον.] Ἐκ ΔΓ, ΑΤ, Ἱερωμένην· φέρεται γὰρ πρὸς τὸν Ἀναξήνορα, ὃν ἱερέα ἀπέδειξαν τοῦ Διός.— Στ. 21, Ἐκβάλλουσί τε τὸ ἔθος, ὡς φυσικὴν κ. τ. λ.] ΗΔ, ΑΤ, Καὶ ἐκβάλλουσί γε τὸ ἔθος φυσικήν. Τῆς ἐκβολῆς δὲ ταύτης τεκμήριον, καὶ τὸ ἐν τοῖς πλείοσι τῶν ἔτι σωζομένων ἀντιγράφων μήτε προσγράφεσθαι, μήθ' ὑπογράφεσθαι τὸ τ ταῖς δοτικαῖς.— Στ. 23, Τράλλεις.] Χώραν αὐτὴν κυριωνυμικῶς νῦν καλεῖσθαί φησιν ὁ Μελέτιος· ἔτι δ' ἢ ἡ αὐτὴ τῷ καλουμένῳ Σουλτὰν Ἰσὰρ, ἢ πλησίον αὐτοῦ.—Στ. 24, Μεσσωγίδα.] Τὸ τουρκιστὶ καλούμενον νῦν Κεσενουσδάγ, ὃ σημαίνει Κεσάνων ὄρος, ἴσως διὰ τὸ πλεονάζειν ἐν αὐτῷ τὸ δένδρον.—Στ. 27, Τρόπος τῆς.] Ἐκ ΔΓ, ΑΤ, Τρόπος καὶ τῆς.

ΣΕΛΙΔ. 26, στ. 13, Βαρύς.] Σημειοῦ τὴν λέξιν, ὡς καὶ ἐν τῇ συνηθείᾳ ἐπὶ τῆς αὐτῆς μεταφορικῆς ἐννοίας πολλάκις ἐκλαμβανομένην. Βαρὺν γὰρ (Γαλλ. grave) ὀνομάζομεν ἄνδρα, τὸν σύννουν καὶ συνετὸν, ὥσπερ Λαφρὺν καὶ Λαφρὸν (παρὰ τὸ Ἐλαφρὸν, Γαλλ. léger) τὸν ἐναντίον τούτῳ, ὃν καὶ Ἀβαρῆ ἐκάλουν οἱ ἀρχαῖοι· «Ἀβαρὴς, ἀσύν- » ετος» φησὶν Ἡσύχιος.—Στ. 19, Ἀφ' ὧν τοὔνομα.] Ἀπὸ τῶν ἐν Θράκῃ Τράλλεων δηλονότι. Ἴδ. τὰς Γαλλ. σημ.—Στ. 22, Νύσα.] Σώζειν ἔτι καὶ νῦν τοὔνομα φασὶν ὅ τε Μελέτιος καὶ ὁ Πατρίκιος· καλοῦσι δ' αὐτὴν καὶ Ναζλὶ, Τουρκιστί. Φέρει δὲ τὰ περιβόητα σῦκα, τὰ καλούμενα τοῖς Τούρκοις Ναζλιεντζίρ· ὅθεν καὶ αἱ ἰσχάδες οὐ μόνον αἱ ἐκ τούτων, ἀλλ' ἁπλῶς ἅπασαι Caricæ ὑπὸ τῶν Ῥωμαίων καλοῦνται, τουτέστι Καρικὰ σῦκα, ἀπὸ τῆς παρακειμένης τῇ Λυδίᾳ Καρίας, ἀεὶ παραπλησίως φερούσης σῦκα.—Στ. 26, Κρυπτὴν ἔχοντι τήν.] Ἐκ ΔΓ, ΑΤ, Κρυπτὴν ἔχον τήν.—Στ. 28, Γεροντικόν.] Οὕτως ὠνομάζετο τὸ γυμνάσιον, ἐν ᾧ ἐγυμνάζοντο οἱ γέροντες (ἴδ. τὰς Γαλλ. σημ.). Παρὰ δὲ τοῖς Βυζαντινοῖς συγγραφεῦσι Γεροντικὰ ἐλέγοντο, αἱ γνώμας καὶ ἀποφθέγματα γερόντων Μοναχῶν, ἢ Ἀσκητῶν περιέχουσαι βίβλοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΟΥΡΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΦΕΡΕΤΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΣΕΛΙΔ. 27, στ. 7, Λέγουσι γὰρ δὴ καὶ τούς.] Ἢ διαγραπτέον τὸν τρίτον σύνδεσμον, ὃν διὰ τοῦτο ἀστερίσκοις διείληφα, ἢ ἀναγνωστέον δίχα τοῦ δευτέρου, καθὰ φέρουσί τινα τῶν ἀντιγράφων, Λέγουσι γὰρ καὶ τούς.—Στ. 11, Οὗτοι δ' εἰσὶ καὶ οἱ ἐγκαλοῦντες τὴν τῶν θεῶν ἰατρείαν.] Εἴκασα ἐν ταῖς Γαλλικαῖς σημειώσεσι, μήποτε γραπτέον Ἐκκαλοῦντες, ἢ Ἐμπολοῦντες· προσεικάζω δὲ νῦν (ἴσως πιθανώτερον) καὶ τὸ ἈΓΓΈΛΛΟΝΤΕΣ.—Στ. 19, Περὶ τῶν νοσούντων.] ΗΔ, ΑΤ, Περὶ τῶν τοσούτων (ἄλλ. τοιούτων).—Τότε δέ.] Ἐκ ΔΓ, ΑΤ, Τότε δή.—Στ. 22, Προελθών.] Ἐκ ΔΓ, ΑΤ, Προσελθών.—Στ. 24, Τμῶλον.] Τομαλίτζ νῦν, Τουρκιστί.

ΣΕΛΙΔ. 28, στ. 4, Ἀσίῳ.] Ἔπιθι τὰ ἀλλαχοῦ (Μέρ. Β, σελ. 506) εἰρημένα, καὶ τὰ ἐκεῖ σημειωθέντα.—Στ. 8, Τρεῖς ἐπωνύμους.] ΗΔ, ΑΤ, Τὰς ἐπωνύμους.—Στ. 14, Ἄρομα.] ΗΔ (καθάπερ εἰκὸς ἀναγνῶναι καὶ τὸν Βυζάντιον Στέφανον), ΑΤ, Ἀρόματα.—Συστελλόντων.] ΗΔ, ΑΤ, Συστέλλοντες.—Στ. 21, Τὸν Πομπήϊον.] Γράφε δίχα τοῦ ἄρθρου, καθὰ φέρουσί τινα τῶν ἀντιγράφων.

ΣΕΛΙΔ. 29, στ. 18, Ἐπίσης κατὰ πλάτος.] ΗΔ, ΑΤ, Ἐπίσης τε πλάτος.—Στ. 23, Δαιδάλων.] Δέδατα (τυπογραφικῶς ἴσως ἡμαρτημένον) εὑρίσκω ἐν τῷ ὑδρογραφικῷ πίνακι τοῦ Κεφαλᾶ ἐπὶ τῷ κόλπῳ Γλαύκῳ, ὅς ἐστι νῦν ὁ καλούμενος Κόλπος τῆς Μάκρης. Ἴδε κατωτέρ. σελ. 301.

ΣΕΛΙΔ. 30, στ. 4, Εἶτα τὸ Λητῷον ἄλσος.] Γράφε ἀναπληρῶν τὰ τυπογράφων ἀβλεψίᾳ ἐξερρυηκότα, Εἶτα τὸ Ἀρτεμίσιον ἄκρα καὶ ἱερὸν, εἶτα τὸ Λητῷον ἄλσος.—Στ. 11, Διά τε τὰ καύματα.] Ἐκ ΔΓ (ὥσπερ διώρθουν πάλαι ἐν ταῖς εἰς τὸν Ἱπποκράτ. Περὶ ἀέρ. ὑδ. τόπ. tom. II, pag. 208, σημειώσ.) ΑΤ, Διὰ τὰ καύματα.—Στ. 13, ἘΠΙΜΕΛΆΝΩΣ χλωροὺς τοὺς Καυνίους.] ΗΔ, ΑΤ, ἘΠΙΜΕΛΩΣ. Εἰσὶ δ' οἱ Ἐπιμελάνως χλωροὶ, ὡς καὶ οἱ ἐν συνθέσει Μελάγχλωροι, οἱ αὐτοὶ καὶ οἱ ἐν τῇ συνηθείᾳ Μαυροκίτρινοι λεγόμενοι. Σκώπτει δὲ εἰς τὴν μελανίαν τοὺς κατοίκους τῆς Καύνου (τῆς νῦν Ῥόσας καλουμένης) Στρατόνικος, ὥσπερ ἔσκωψε καὶ τοὺς ἀπαντικρὺ τῶν Καυνίων κειμένους Ῥοδίους, Λευκοὺς Κυρηναίους ὀνομάσας (Ἀθην. σελ. 352), τουτέστι τοσούτῳ μόνῳ διαφέρειν ἐμφήνας κατὰ τὴν μελανίαν τῶν Κυρηναίων, ὅσῳ μὴ Κυρηναίους ἁπλῶς καλεῖσθαι.—Στ. 15, Οἵη περ.] Ἐκ τῆς Ἰλιάδος, ζ', 146.—

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΠΙ. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.Της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Στ. 21, Ἀφῖχθαι δ' ἐκ Κρήτης.] ΗΔ, ΑΤ, Ἀφῖχθαι δὲ Κρῆτας.

ΣΕΛΙΔ. 31, στ. 6, Ἐθαλαττοκράτησε.] Τοῦτο οὐχ οὕτως ἐκληπτέον, ὥσπερ ἂν εἰ τῆς μεσογείου θαλάσσης ἁπάσης, ἢ γοῦν πολλοῦ μέρους αὐτῆς ἐκράτησαν, ἀλλ' ὡς τῶν κατὰ τὸ Αἰγαῖον πέλαγος πλοΐζομένων πολὺ διαφέροντας. Ἔπιθι τὴν τοῦ Οὐαλκενναίρου σημείωσιν εἰς τὸν Ἡρόδοτον (γ', 122)· ὅθεν ἀναπληρωτέον εἰς τὸ ἀκριβέστερον καὶ τὰ σημειωθέντα μοι ἐν τῇ Γαλλικῇ τοῦ Στράβωνος μεταφράσει (tom. IV, pag. 327, not. 2).—Στ. 13, Ἑπτάκις δέκα.] Πληρέστερον τοῦτο ἀποδέδωκεν ὁ τῶν Χρηστομαθειῶν (Μερ. Γ, σελ. 434) συλλογεύς·

Κολοσσὸν Ἡλίου ποθ' ἑπτάκις δέκα
Χάρης ἐποίει πηχέων, ὁ Λίνδιος.

Καὶ εἰκὸς οὕτω πάλαι γεγράφθαι καὶ ἐν τῷ κειμένῳ τοῦ Στράβωνος.—Στ. 16, Τοῦτό τε δή.] ΗΔ, ΑΤ, Τοῦτο δὲ δή. ΔΓ, Τοῦτο δή.

ΣΕΛΙΔ. 32, στ. 1, Σιταρκεῖταί τε δή.] Ἐκ ΔΓ, ΑΤ, Σιταρκεῖται δὲ δή. Ὅμοιον δὲ τοῦθ' ᾧ μικρὸν ἀνωτέρω διώρθωκα, Τοῦτό τε δή, καὶ τῷ ἐν τοῖς ἑξῆς (σελ. 39), «Οὗτός τε δή ἐστι » τῶν ἐνδόξων ».—Στ. 2, Ὑπολαμβάνουσιν.] Σημειοῦ τὴν λέξιν, ἣν διὰ τοῦ Soutiennent ἡρμήνευσα ἐν τῇ Γαλλικῇ μεταφράσει, ὡς μήπω κατακεχωρισμένου τοῦ Ὑπολαμβάνειν ἐν τοῖς Λεξικοῖς ἐπὶ τῆς μεταφορικῆς ταύτης σημασίας τοῦ βοηθεῖν, ἐπαρκεῖν, ἢ ὠφελεῖν. Ὑπό τι δὲ καὶ ῥωμαΐζει· ἔστι γὰρ κατὰ λέξιν αὐτὸ τὸ παρ' ἐκείνοις Suscipiunt.—Στ. 3, Ὀψωνιαζόμεναι.] ΗΔ (πρὸς τὸ Λειτουργίαι), ΑΤ, Ὀψωνιαζόμενοι.—Στ. 19, Αὐτίκα.] Ἐκ τῆς Ἰλιάδος, β', 662.—Στ. 27, Λίνδον.] Ἐκ τῆς αὐτῆς, β', 656.

ΣΕΛΙΔ. 33, στ. 1, Ἀλλ', εἰ ἄρα, Αἰολέας.] ΗΔ, ΑΤ, Ἀλλ' ἤ ἄρα Αἰολέας.—Στ. 5, Καὶ τῶν Κῴων δὲ, Φείδιππός τε.] Ἐκ ΔΓ (συνᾴδοντος καὶ τοῦ ἐμοῦ ἀντιγράφου), ΑΤ, Καὶ, Τῶν δ' αὖ Φείδιππός τε. Τὸ δὲ ἔπος ἐκ τῆς Ἰλιάδος, β', 678.—Στ. 22, Ὧν ἑνός.] Ἀποκατέστησα τὴν προτέραν γραφὴν, ΑΤ, Ὧν ἔνιοι.

ΣΕΛΙΔ. 34, στ. 7, Συνῴκισαν.] ΗΔ, ΑΤ, Συνῴκησαν.—Στ. 12, Τὴν Παρθενόπην.] Τὴν νῦν ἐν ταῖς Ἰταλικαῖς πόλεσι διαπρέπουσαν Νεάπολιν.—Σαλπίας.] Ἐξ ΕΔ, ΑΤ, Ἐλπίας. Εἰσὶ δ' ὄνομα πόλεως πληθυντικὸν, συγκεκομμένον παρὰ τὸ Σαλαπίαι, αἱ Σαλπίαι.—Στ. 13, Ἄφοδον.] Ἐκ ΔΓ, ΑΤ, Ἔφοδον.—Στ. 16, Οὐ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τἀληθῆ.] Ἐκ ΔΓ, ΑΤ, Οὔτ' ἀληθῆ.—Στ. 17, Λέγεσθαι, καὶ διὰ τοῦτο τάς.] ΗΔ, ΑΤ, Λέγεσθαι, διὰ τὸ τάς. ΔΓ, Λέγεσθαι, διότι τάς. Ἔςι δὲ καὶ οὕτω διορθοῦν Λέγεσθαι· δι' ὃ καὶ τάς. Εἰκὸς δ' ἐξερρυηκέναι τι τοῦ χωρίου. Τοῦτο γὰρ, οἶμαι, βούλεται λέγειν ὁ Στράβων, ὅτι Ῥόδιοι κτίσαντες τὰς νήσους, Γυμνησίας ἐκάλεσαν, διότι γυμνῆτες ἦσαν αὐτοὶ, τουτέςι ψιλοὶ ςρατεύεσθαι εἰώθεσαν, σφενδόνας φέροντες μόνας· καὶ ἐπεὶ τῇ Φοινίκων γλώσσᾳ οἱ οὕτως ἐσκευασμένοι ςρατιῶται Βαλεαρίδαι (ἡ Βαλεαρεῖς) λέγονται, διὰ τοῦτο καὶ αἱ ὑπ' αὐτῶν οἰκισθεῖσαι νῆσοι τῆς αὐτῆς ἔτυχον προσηγορίας. Ὅτι δὲ σφενδονῆται ἦσαν οἱ Ῥόδιοι, μαρτυρεῖ καὶ ἡ ἱςορία· ἐν γοῦν τῇ ἐπὶ Σικελίαν ςρατείᾳ ἑπτακοσίους σφενδονήτας Ῥοδίους Ἀθηναίοις συμμαχῆσαι φησὶν ὁ Θουκυδίδης (ς', 43).—Στ. 18, Γυμνησίας.] ΗΔ, ΑΤ, Γυμνασίας. Δύο δ' οὐσῶν τούτων, καθάπερ ἀλλαχοῦ (Μέρ. Α, σελ. 218) Στράβων εἴρηκεν, ἡ μὲν μείζων, Majorque, ἡ δ' ἐλάσσων, Minorque νῦν καλεῖται.

ΣΕΛΙΔ. 35, στ. 3, Λίνδος.] Σώζει καὶ νῦν τοὔνομα.—Στ. 13, Κάμειρος.] Καὶ αὕτη τῷ αὐτῷ εἰσέτι καλεῖται ὀνόματι.—Στ. 16, Χαλκίαν.] Νῦν δὲ Χάλκην.—Στ. 20, Φιλοσοφίαν.] Ἐκ ΔΓ, ΑΤ, Φιλοσοφίας.

ΣΕΛΙΔ. 36, στ. 11, Ἐλεοῦντος.] Νήσου, ἣν ἀνωτέρω (σελ. 30) Ἐλεοῦσσαν ὠνόμασε.—Καμπή.] Ἐκ ΔΓ (οὕτω γραφομένου κἀν τοῖς ἑξῆς, σελ. 68), ΑΤ, Καμπτήρ.—Στ. 16, Κυνὸς σῆμα.] Capo di Volpe οἱ πλοϊζόμενοι τῶν Ἰταλῶν καλοῦσιν αὐτὸ, τουτέςιν, Ἀλώπεκος ἄκραν.—Στ. 17, Σύμη.] Καθάπερ καὶ νῦν ἔτι καλεῖται.—Στ. 18, Κνίδος.] Σταδία νῦν, κατὰ τὸν Μελέτιον· καὶ σημείωσαι, ὅτι ἓν τῶν παλαιῶν αὐτῆς ὀνομάτων ἦν καὶ τοῦτο· Κατὰ γὰρ τὸν Πλίνιον (v, 27) ἡ Κνίδος ἐκαλεῖτο καὶ Τριοπία, καὶ Πήγουσα καὶ Σταδία. Κεῖται δὲ κατὰ τὴν ἄκραν τὴν νῦν ὀνομαζομένην Cap Crio.—Στ. 19, Δὲ νῆσος.] ΗΔ, ΑΤ, Δ' ἡ νῆσος.—Στ. 21, Χώμασι.] Ἴσ.γρ. Χώματι.—Στ. 23, Νίσυρος.] Ἡ καὶ νῦν οὕτω καλουμένη.

ΣΕΛΙΔ. 37, στ. 1, Τῶν ΜΕΓΑ δυναμένων.] ΗΔ, ΑΤ, ΜΕΓΑΛΛ. ΔΓ, ΜΕΓΑΛΩΝ. Ταὐτὸ δέ μοι δοκεῖ ἁμάρτημα συμβῆναι καὶ τοῖς ἀντιγραφεῦσι τοῦ Πλάτωνος (Σοφις. σελ. 243), «Οὕτω ΜΕΓΑΛΑ » κλεινοῖς καὶ παλαιοῖς ἀνδράσιν» ΜΕΓΑ γὰρ καὶ παρ' ἐκείνῳ δεῖν γράφειν ὑπολαμβάνω.—Στ. 4, Κέραμος.] Σώζει καὶ νῦν τοὔνομα.—Στ. 6, Ἁλικαρνασσός.] Ἧς τὴν χώραν κατέχει νῦν τὸ καλούμενον

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΟΝΣΤΑΝΤΙΝΟΣ Ο ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Βοδρούμ.—Στ. 8, Θεαμάτων ἓν, ἔργον... ὅπερ κ. τ. λ.] ΗΔ, ΑΤ, Θεαμάτων ἔργον, ὅπερ. Ἔςιξα δὲ καὶ μεταξὺ τῶν τελευταίων δύο λέξεων, διὰ τὸ δόξαν μοι κολοβὸν τοῦ χωρίου. Λείπειν γὰρ οἶμαι τοῦ τεχνίτου τοὔνομα, οὗπερ ἦν ἔργον ὁ Μαύσωλος, ἴσως τοῦ Σκόπα· καίπερ οὐ μόνος ἦν Σκόπας ὁ ποιήσας, τριῶν ἑτέρων συνεργασαμένων. Ἦσαν δ' οὗτοι, καθά φησι Πλίνιος (XXXVI, 5), Βρύαξις, Τιμόθεος καὶ Λεωχάρης.—Στ. 10, Πιόντας.] Ἰσ.γρ. Πίνοντας.—Στ. 14, Ἀρκόννησος.] Τῷ Κορονάτας ὀνόματι σημαίνουσι νῦν οἱ πίνακες τὴν νησίδα ταύτην.—Στ. 18, Διονύσιος ὁ συγγραφεύς.] Ὁ Ἁλικαρνασσεὺς δηλονότι.

ΣΕΛΙΔ. 38, στ. 14, Ἄκρας (διττὴ δ' ἦν), ἐκείνῃ πολιορκεῖν κ. τ. λ.] ΗΔ, ΑΤ, Ἄκρας (διττὴ δ' ἦν ἐκείνη) πολιορκεῖν. Ἰδ. τὰς Γαλλικ. σημ. tom. IV, pag. 335, not. 1, καὶ τὴν ἐπανόρθωσιν αὐτῶν tom. V, pag. 148.—Στ. 17, Τερμέριον.] Ἡ νῦν Πετέρα καλουμένη ἄκρα.

ΣΕΛΙΔ. 39, στ. 2, Πρὸς δὲ τῷ Λακητῆρι χωρίον.] ΗΔ, ΑΤ, Πρὸς δὲ τῷ Λακητηρίῳ χωρίῳ.—Στ. 3, Δρέκανον.] Διαλέκτῳ μόνῃ διαφέρει τοῦ Δρέπανον, ὥσπερ ἐν τοῖς πρόσθεν (σελ. 289) ἐσημειωσάμην.—Στ. 17, Τοῦ περιπατητικοῦ.] Ἀρίςωνος ὀνομαζομένου καὶ τούτου, ἐκ τῆς Νήσου Κέω, τῆς ἔπειτα Κίας, νῦν δὲ Τσίας.—Στ. 21, Μύνδος.] Ἡ νῦν Μύνδες.—Στ. 22, Βαργύλια.] Βαρέλλια νῦν, κατὰ τὸν Μελέτιον· κατὰ δὲ τὸν Δαμβίλλην Βαργίλι (Barghili).—Στ. 23, Καρύανδα.] Κατὰ τὸν Δαμβίλλην, Καρακοιὸν (Karacoion)· εἴη δ' ἂν τοῦτο Τουρκιςὶ Καρακογιοὺν, τουτέςι Μαυροπρόβατον.—Ὁμώνυμος· ταύτην ᾤκουν.] ΗΔ, ΑΤ, Ὁμώνυμος ταύτῃ, ἣν ᾤκουν. Ἐπεὶ γὰρ εἰς τὴν χώραν τοῦ Λίμνη τὸ προηγούμενον Λιμὴν ὁ Γερμανὸς ἐξ ΕΔ ἔθηκε, δῆλον, ὅτι οὐκ ἔτι εἶχε συναρτᾶσθαι πρὸς τὸ Ταύτῃ. Ἐχρῆν οὖν γράφειν Ταύτην, πρὸς τὸ, Νῆσος.—Στ. 26, Περιύεσθαι.] Τουτέςιν, ὕοντος τοῦ θεοῦ, τὸ ὕδωρ μὴ ἅπτεσθαι τοῦ ἱεροῦ, ἀλλὰ περὶ αὐτὸ διαχεῖσθαι. Ἐπιςεύετο δὲ τοῦτο ὑπὸ τῶν ἀνοήτων, καθάπερ ἱςόρηκε καὶ Πολύβιος (ιςʹ, 12), « Τὸ τῆς Κινδυάδος Ἀρτέμιδος » ἄγαλμα, καίπερ ὂν ὑπαίθριον, οὔτε νίφεται τὸ παράπαν, οὔτε βρέ- » χεται· παρὰ δὲ τοῖς Ἰασεῦσι, τὸ τῆς Ἑςιάδος » προςιθεὶς ὁ νουνεχέςατος συγγραφεὺς, ὅτι τὸ τὰ τοιαῦτα πιςεύειν « ἀπηλγηκυίας » ἐςὶ ψυχῆς » ὅπερ οὑτωσί μοι ἔδοξε παραφράσαι, ἐν ταῖς Γαλλικαῖς σημειώσεσι, Pour croire à de pareils miracles, il faut avoir l'esprit endurci à la bêtise.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΥΝΩΝ ΙΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΑΘΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006